www.e-rara.ch

# Plotini Platonicorum facile coryphæi Opervm Philosophicorvm Omnivm Libri LIV. In Sex Enneades Distribvti

Plotinus
Poliziano, Angelo
Dazzi, Andrea
Porphyrius

Basileæ, MDXXC. [1580]

Universitätsbibliothek Bern

Shelf Mark: MUE Gross O 44

Persistent Link: https://doi.org/10.3931/e-rara-74031

Plotini ennead. sextae, liber VI. De numeris.

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

A ἐλάττων. ἐγίνου τῇ προσθήκῃ. οὐ γὰρ ἐκ τοῦ παντὸς ἦν ἡ προσθήκη. οὐδὲν γὰρ ἐκείνῳ προσθήσεις, ἀλλὰ τοῦ μὴ παντός. γενόμενος δέ τις καὶ ἐκ τοῦ μὴ ὄντος, ἔστιν οὐ πᾶς. ἀλλ᾽ ὅταν τὸ μὴ ὂν ἀφῇ. αὔξεις τοίνυν σεαυτὸν, ἀφεὶς τὰ ἄλλα. καὶ πάρεστί σοι τὸ πᾶν ἀφέντι· μετὰ δὲ ἄλλων ὄντι, οὐ φαίνεται. οὐκ ἦλθεν ἵνα παρῇ. ἀλλὰ σὺ ἀπῆλθες, ὅτε οὐ πάρεστιν. εἰ δ᾽ ἀπῆλθες, οὐκ ἀπ᾽ αὐτοῦ. αὐτὸ γὰρ πάρεστιν. οὐ δὲ *τοῦτο ἀπῆλθες, [* πότε] B ἀλλὰ παρὼν, ἐπὶ τὰ ἐναντία ἐστράφης. οὕτω γὰρ καὶ οἱ ἄλλοι θεοὶ, πολλῶν παρόντων, ἑνὶ φαίνονται πολλάκις. ὅτι, ὁ εἷς ἐκεῖνος μόνος δύναται βλέπειν. ἀλλ᾽ οὗτοι μὲν οἱ θεοὶ ὅτι παντοῖοι τελέθοντες ἐπιστρωφῶσι τὰς πόλεις. εἰς ἐκεῖνον δὲ αἱ πόλεις ἐπιστρέφονται. καὶ πᾶσα ἡ γῆ, καὶ πᾶς οὐρανός. πανταχοῦ ἐπ᾽ αὐτοῦ καὶ ἐν αὐτῷ μένοντα, καὶ ἔχοντα ἐξ αὐτοῦ τὸ ὂν καὶ τὰ C ἀληθῶς ὄντα, μέχρι ψυχῆς καὶ ζωῆς ἀνηρτημένα, καὶ εἰς ἓν ἰὸν παρὰ μεγέθει τῷ ἀπείρῳ.

A rat, minor adiunctione eiusmodi euasisti. Non enim ex vniuerso tibi erat adiunctio: nã nihil illi vnquam adiunxeris, sed ex non vniuerso potius erat. Iam verò quicunq; fit aliquis, isq; fit ex nõ ente, iam est minimè vniuersus. Sed tunc reuera vniuersus existit, quando nõ ens omnino dimiserit, tunc itaq; teipsum auges, quando dimittis alia, tunc & vniuersum tibi adest cætera dimittenti. Dum verò es vnà cũ cæteris, illud tibi minimè fulget: sed enim quando fulget, non accedit vt adsit: imò verò B tu inde discesseras, quãdo non aderat. Quòd si discesseras, non ab illo quidem, illud nanq; passim adest, sed neque etiam aliò quoquam abisti, sed dum etiam esses præsens, te ad contraria diuertisti. Eadem ratione cæteri quoq; dij sæpe cum multis sint æquè præsentes, vni tamen apparent: quoniam ille solus omnium suspicere potest. Sed hi quidem dij prorsus omnigeni præsentes vbique ciuitates ad meliora conuertunt: ciuitates autem in supernum illum deniq; cõuertuntur, in illum tota tellus, in illũ deniq; cælum, vbiq; penes ipsum & in ipso perseuerantia. Ex illo quinetiã quæ verè sunt entia ens ipsum habent, vsque ad animã atq; vitam illi prorsus annexa. Atqui & ipsum quod ens modò dicebam, penes magnitudinem infinitam conspirat in vnum.

# ΠΛΩΤΙΝΟΥ

## ΕΝΝΕΑΔΟΣ ϛ.

### ΛΟΓΟΣ ϛ.

# PLOTINI

## ENNEAD. SEXTAE,

### LIBER VI.

### ΠΕΡῚ ἀριθμῶν.

### De numeris.

*Si unum ipsum bonumq; idē est, meritò multitudo quo longius discedit ab uno atq; unione, eo fit deterior. Igitur si fingatur multitudo uel infinita, uel quomodolibet unitatis expers, erit ipsum malum.* *Cap. I.*

*Maximè unita secum ipsa est species quælibet separata & idea cuiusq;, quoniam essentia simplex & indiuidua est. Minus unita secum ipsa species naturalis per corporis partes extensa, etiam quandiu continuitatem suam seruat: ergo minus bonum. Minimũ unitatis habet multitudo discreta contingens dissolutione continui: ergo malum. Quòd uerò nullam unionem seruare fingitur, appellatur maximè malum.*

Ἆρ᾽ ἐστὶ τὸ πλῆθος ἀπόστασις τοῦ ἑνὸς, καὶ ἡ ἀπειρία ἀπόστασις παντελής, τῷ πλῆθος ἀνάριθμον εἶναι, καὶ διὰ τοῦτο κακὸν εἶναι ἡ ἀπειρία, καὶ ἡμεῖς κακοὶ, ὅταν πλῆθος. καὶ γὰρ πολὺ ἕκαστον, ὅταν ἀδυνατοῦν εἰς αὑτὸ μένειν, χέηται καὶ ἐκτείνηται σκιδνάμενον. καὶ παντη μὲν στερισκόμενον ἐν τῇ χύσει τοῦ ἑνὸς, πλῆθος γίγνεσθαι. οὐκ ὄντος τοῦ ἄλλου πρὸς ἄλλο μέρος αὐτοῦ ἑνοῦντος. εἰ δ᾽ ἔτι γένοιτο, ἀεὶ γένοιτο, ἀεὶ χεόμενον, μένον μέγεθος γίνεται. ἀλλὰ τί

A QVÆRENDVM videtur in primis, nũquid multitudo sit discessus distantiaq; ab vno, ideoq; infinitas ipsa extremus sit ab vnitate discessus, propterea quòd hęc sit innumerabilis multitudo, atq; ob hoc ipsũ infinitas malũ sit, nosq; mali sim⁹, quãdo multitudo sumus. Tũc enim quodlibet multũ fit, quãdo nõ po-B tẽs penes idẽ in seipso manere diffũditur, & extenditur iã dispersũ: & quãdo in ipsa diffusione prorsus vno priuatur, fit multitudo, vbi deest quod partẽ aliam cum alia vniat. Sin autẽ adsit quidam conciliator, tunc quod fusum est permanendo fit magnitudo. Sed quid

nam eſt in magnitudine mali? Profectò ſi perſentiret, pateret in ea malum. Sentiret enim res illa ſe à ſeipſa iam procul abijſſe. Vnumquodque ſanè non aliud expetit, ſed ſeipſum. Progreſſus autem ad externa factus vel vanus eſt, vel certè coactus. Præcipuè verò eſt vnũquodq; non quãdo fit multum, aut magnũ, ſed quando ſuijpſius exiſtit : ſui verò ipſius eſt, quando ſolum ſibimet annuit. Quod autẽ appetit ſic fieri magnũ, ignorat quid reuera ſit magnum, feſtinatq; quò non expedit, ſed extra prorumpit. Ad ſe autẽ vergere, eſt intus aſsiduè permanere: teſtatur id pręcipuè quod efficitur magnitudinę. Si enim extra protrahitur, adeò vt vnaquæq; partium ipſius exiſtat, ſingulæ quidẽ partes erũt, ſed non ipſũ propriè quod ab initio. Sin verò ipſũ, oportet partes omnes ad vnũ uerti, adeò vt illud exiſtat quandò quoquo modo vnũ eſt, non quãdo magnum: quamobrem propter ipſam magnitudinem, & quãtum eſt in ea à ſeipſo diſperditur. Quatenus autẽ habet vnũ, habet quoq; ſeipſũ, veruntamen vniuerſũ magnum eſt & pulchrum : ſed iccirco pulchrũ eſt, quoniam non eſt permiſſum ad infinitatẽ prorſus effugere, ſed eſt vnitate comprehenſum. Iam verò pulchrũ eſt nõ magnitudine quidẽ ipſa, ſed potius pulchritudine: atqui idcirco indiguit pulchritudine, quia factum eſt magnum. Quandoquidem ſi hoc foret ab ipſapulchritudine deſtitutũ, quatenus magnũ eſt eatenus apparuiſſet & turpe, atq; ita hoc ipſum magnum pulchritudinis materia eſt, quoniam multũ eſt quod indiget ornamento. Itaque quod magnum eſt, ſi à pulchritudine ſecernatur, magis eſt inornatum magiſque turpe

A δεινὸν τῷ μεγέθει, ἢ εἰ ᾐσθάνετο, ἦν ἂν ἀφ' ἑ-
αυτοῦ γάρ τι γενόμενον, καὶ ἀφιστάμενον εἰς τὸ πόῤ-
ῥω, ᾐσθάνετο. ἕκαστον γὰρ οὐκ ἄλλο, ἀλλ' αὐτὸ ζη-
τεῖ. ἡ δ' ἔξω πορεία, μάταιος. ἢ ἀναγκαία.
μᾶλλον δέ ἐστιν ἕκαστον, οὐχ ὅταν γένηται πολὺ
ἢ μέγα. ἀλλ' ὅταν ἑαυτοῦ ᾖ. ἑαυτοῦ δέ ἐστι. πρὸς
αὐτὸ νενευκός. ἡ δὲ ἔφεσις ἡ πρὸς τὸ οὕτως μέγα,
ἀγνοοῦντός ἐστι, τὸ ὄντως μέγα. καὶ σπεύδοντος οὐχ'
B οὗ δεῖ, ἀλλὰ πρὸς τὸ ἔξω. τὸ δὲ πρὸς αὐτό. τὸ ἔν-
δον ἦν. μαρτύριον δὲ τὸ γενόμενον μεγέθει, εἰ
μὲν ἀπηρτημένον, ὡς ἕκαστον τῶν μερῶν αὐτοῦ εἶ-
ναι, ἐκεῖνα εἶναι ἕκαστα. ἀλλ' οὐκ* αὐτοῦ τὸ ἐξ *αὐτὸ
ἀρχῆς. εἰ δ' ἔσται αὐτὸ, δεῖ τὰ πάντα μέρη
πρὸς ἕν. ὥστε εἶναι αὐτὸ ὅταν ἀμηγέπη ἓν μὴ μέ-
γα ᾖ. γίνεται τοίνυν διὰ μὲν τὸ μέγεθος καὶ ὅσον
ἐπὶ τῷ μεγέθει, ἀπολλύμενον αὐτοῦ. ὅτι δὲ ἔχει
C ἕν, ἔχει ἑαυτό. καὶ μὴν τὸ πᾶν, μέγα καὶ καλόν. ἢ
ὅτι οὐκ ἀφείθη φυγεῖν εἰς τὴν ἀπειρίαν, ἀλλὰ
περιελήφθη ἑνί, καὶ καλὸν οὐ τῷ μέγα, ἀλλὰ τῷ
καλῷ. καὶ ἐδεήθη τοῦ καλοῦ, ὅτι ἐγένετο μέγα. ἐ-
πεὶ ἔρημον ὂν τούτου, ὅσῳ μέγα τοσούτῳ ἂν κατε-
φάνη αἰσχρόν. καὶ οὕτω τὸ μέγα ὕλη τοῦ καλοῦ, ὅ-
τι πολὺ δὲ δεόμενον κόσμου: μᾶλλον οὖν ἄκοσ-
μον τὸ μέγα καὶ μᾶλλον αἰσχρόν.

*Si fingatur multitudo infinita, non erit propriè numerus. Numerus enim entiũ in mundo incorporeo definitus eſt, atq; inde in mundo corporeo terminatus: neq; animus numerans facit, augetúe numeros reuera, quamuis fingat, ſed in eo ſunt utrinque naturaliter terminati.* Cap. II.

QVIDNAM igitur dicendum eſt de illo qui infinitatis dicitur numerus? Sed prius quęrendum eſt quomodo ſit numerus, ſi infinitus extiterit. Neq; enim quæ ſubiecta ſunt ſenſibus, ſunt infinita. Quapropter neq; qui in eis eſt numerus, eſt infinitus: atqui neque qui numerat, infinitatem ipſã enumerat : ſed quamuis dupla & tripla, & deinceps ſimiliter multiplicia computet, hæc certè definit, ac ſi ad futurum aut præteritũ multiplicationem ſumat, hæc quoque interea definire videtur. Nunquid ergo dicendum eſt, numerum quidem non eſſe quidem ſimpliciter infinitum, ſed ita duntaxat, vt ſubinde ſemper liceat adhibere: ſed profectò non eſt in numerante generandorum auctoritas numerorum: ſed iam determinati erant numeri, ac prorſus extabant. Iam verò in mundo intelligibili ſicut entia determinata ſunt, ſic & definitus eſt numerus numero entium deſignatus. Nos autẽ ſicut hominem multa quædam facimus adhibentes ei ſæpe & pulchrum & cætera generis eiuſdem: ita ſimul cum quolibet ſimulachro numeri quoq; concipimus ſimulachrum: & quemadmodum vrbem quandam multiplicamus non exiſtentem, ſic fermè numeros deinceps multiplicare ſolemus, ac ſi tempore numeremus, his videlicet numeris quos habemus, eos ipſos ad tempora iam traducimus, dum tamen in nobis numeri permanent.

A ΤΙ' ΟΥ'Ν ἐπὶ τοῦ λεγομένου ἀριθμοῦ τῆς
ἀπειρίας; ἀλλὰ πρῶτον, πῶς ἀριθμὸς εἰ ἄπει-
ρος. οὔτε γὰρ τὰ αἰσθητὰ ἄπειρα, ὥστε οὐδὲ ὁ ἐπ'
αὐτοῖς ἀριθμὸς, οὔτε ὁ ἀριθμῶν τὴν ἀπειρίαν
ἀριθμεῖ. ἀλλὰ κἂν διπλάσια ἢ πολλαπλά-
σια ποιῇ, ὁρίζει ταῦτα. κἂν πρὸς τὸ μέλλον ἢ
τὸ παρεληλυθὸς λαμβάνῃ, ἢ καὶ ὁμοῦ, ὁρίζει *ἆρ' οὖν
ταῦτα.* ἆρ' οὖν οὐχ ἁπλῶς ἄπειρος, οὕτω δὲ,
B ὥστε ἀεὶ ἐξεῖναι λαμβάνειν. ἢ οὐκ ἐπὶ τῷ ἀριθ-
μοῦν τι τὸ γεννᾶν, ἀλλ' ἤδη ὥρισται καὶ ἕστηκεν. ἢ
ἐν μὲν τῷ νοητῷ ὥσπερ τὰ ὄντα, οὕτω καὶ ἀριθ-
μὸς ὡρισμένος ὅσος τὰ ὄντα. ἡμεῖς δὲ ὡς τὸν ἄν-
θρωπον πολλὰ ποιοῦμεν ἐφαρμόζοντες πολλά-
κις, καὶ τὸ καλὸν καὶ τὰ ἄλλα, οὕτω μετὰ τοῦ εἰδώ-
λου ἑκάστου, καὶ εἴδωλον* ἀριθμοῦ συναπογεν- *ἀριθμοῦ
νῶμεν. καὶ ὡς τὸ ἄστυ πολλαπλασιοῦμεν. οὐχ' ὑ-
φεστὸς, οὕτως τὸν αὐτὸν τρόπον καὶ τοὺς ἀριθμοὺς
C *πολυπλασίους ποιοῦμεν. καὶ εἰς τοὺς χρόνους. δὲ *πολλαπλασίους
ἀριθμοῖμεν: ἀφ' ὧν ἔχομεν ἀριθμῶν ἐπάγο-
μεν ἐπὶ τοὺς χρόνους, μενόντων ἐν ἡμῖν ἐκείνων.

*Mundus intelligibilis quoniam ab ipsa unitate processit in multitudinem idearum, non est ipsum bonum, neque tamen est ibi multitudo malum, quoniam superatur ab unò. Est enim idearum omnium communis una indiuiduaq; natura; atque idea qualibet est unita cunctis. Caput III.*

*Infinitas ipsa nullum actu propriū habet esse, alioquin computata esset in genere entium, ibiq; designata, igitur definita: quare nec actu iam esset infinitas, ueruntamen latet infinitudo sub termino semper aliquid terminante. Igitur si quando formas omnes quasi terminos atque fines è medio tollas, quod reliquū fingitur, infinitudo uocatur. Si hanc apprehendis, iam terminas: sin terminas, non apprehendis infinitatem. Denique si per omnia oppositorū genera pro arbitrio curras, neutrum oppositorum seorsum dedicabis infinitati, alioquin mox eam tibi finieris: rursumq; alterutrum oppositorum in ea poteris per negationem alterius appellare.*

ἈΛΛᾺ τὸ ἄπειρον δὴ τοῦτο, πῶς ὑφέστηκεν ὂν ἄπειρον; ὃ γὰρ ὑφέστηκε καὶ ἔστιν ἀριθμῷ καταλέληπται ἤδη. ἀλλὰ πρότερον εἰ ἐν τοῖς οὖσιν ὄντως πλῆθος, πῶς κακὸν τὸ πλῆθος. ἢ ὅτι ἥνωται τὸ πλῆθος καὶ κεκώλυται πάντη πλῆθος εἶναι, ἓν ὂν πλῆθος· καὶ διὰ τοῦτο δὲ ἐλαττοῦται τοῦ ἑνός, ὅτι πλῆθος ἔχει. καὶ ὅσον πρὸς τὸ ἕν, χεῖρον. καὶ οὐκ ἔχον δὲ τὴν φύσιν ἐκείνου, ἀλλὰ ἐκβεβηκός, ἠλάττωται. τῷ δ' ἑνὶ παρ' ἐκείνου, τὸ σεμνὸν ἔχει, καὶ ἀνέστρεψε δὲ τὸ πλῆθος εἰς ἕν, καὶ ἔμεινεν. ἀλλ' ἡ ἀπειρία πῶς, ἡ γὰρ οὖσα ἐν τοῖς οὖσιν ἤδη ὥρισται. ἢ εἰ μὴ ὥρισται, οὐκ ἐν τοῖς οὖσιν. ἀλλ' ἐν τοῖς γενομένοις ἴσως, ὡς καὶ τῷ χρόνῳ. ἢ κἂν ὁρισθῇ, τούτῳ γε ἄπειρος. οὐ γὰρ τὸ πέρας, ἀλλὰ τὸ ἄπειρον ὁρίζεται. οὐ γὰρ δὴ ἄλλο τι μεταξὺ πέρατος καὶ ἀπείρου, ὃ τὴν τοῦ ὅρου δέχεται φύσιν. τοῦτο δὴ τὸ ἄπειρον, φεύγει μὲν αὐτὸ, τὴν τοῦ πέρατος ἰδέαν. ἁλίσκεται δὲ περιληφθὲν ἔξωθεν. φεύγει δὲ οὐκ εἰς τόπον ἄλλον ἐξ ἑτέρου. οὐ γὰρ οὐδ' ἔχει τόπον. ἀλλ' ὅταν ἁλῷ, ὑπέστη τόπος. διὸ οὐδὲ τὴν λεγομένης κίνησιν αὐτῆς, τοπικὴν θετέον. οὐδέ τινα ἄλλην τῶν λεγομένων αὐτῇ παρ' αὐτῆς ὑπάρχειν. ὥστε οὐδ' ἂν κινοῖτο. ἀλλ' οὐδ' ἕστηκεν αὖ. ποῦ γάρ. τοῦ ποῦ ὕστερον γινομένου. ἀλλ' ἔοικεν ἡ κίνησις αὐτῆς τῆς ἀπειρίας οὕτω λέγεσθαι, ὅτι μὴ μένει. ἆρ' οὖν οὕτως ἔχει, ὡς μετέωρος εἶναι ἐν τῷ αὐτῷ, ἢ αἰωρεῖσθαι ἐκεῖσε καὶ δεῦρο; οὐδαμῶς. ἄμφω γάρ, πρὸς τὸν αὐτὸν τρόπον κρίνεται, τό, τε μετέωρον, οὐ παρεγκλῖνον πρὸς τὸν αὐτὸν τόπον, καὶ τὸ παρεγκλῖνον. τί ἂν οὖν τις ἐπινοήσειεν αὐτήν. ἢ χωρίσας τὸ εἶδος τῇ διανοίᾳ. τί οὖν νοήσει, ἢ τὰ ἐναντία ἅμα, καὶ οὐ τὰ ἐναντία. καὶ γὰρ μέγα καὶ μικρὸν νοήσει. γίνεται γὰρ ἄμφω. καὶ ἑστὼς καὶ κινούμενον, καὶ γὰρ ταῦτα γίνεται, ἀλλὰ πρὸ τοῦ γίνεσθαι, δῆλον ὅτι οὐδέτερον ὡρισμένως. εἰ δὲ μὴ ὥρισας. εἰ οὖν ἄπειρος, καὶ ταῦτα ἀπείρως καὶ ἀορίστως, φαντασθείη γ' ἂν ἑκάτερα.

A SED infinitum hoc quomodo extitit, quum sit infinitum? Quod enim extitit atq; est, numero iam est comprehensum: uerùm prius est indagandum, si multitudo reuera in uerorum entium ordine collocatur, quomodo multitudo sit malum. At uerò multitudo illic est vnita, neque permittitur in multitudinem prorsus euadere, quippe quū ibi multitudo sit ens vnum: atqui ob hoc ipsum id ab vno degenerat, eiq; succumbit, quoniā mul-
B titudinem habet, & quantum ad vnum spectat, labitur in deterius. Quumq; naturam illius non habeat, sed exciderit inde, meritò subit defectum: sed vnius ipsius virtute penes ipsum habet aliquid honorandū, nempe multitudo conuersa est ad vnum, atque constitit. Ipsa uerò infinitas quonam modo illic esse potest? Si enim habet esse, iam est in ordine entium definita: aut certè nisi fuerit definita, nō est in genere entium collocanda, sed forsan in
C eorum ordine, quę fiunt computanda uidebitur, sicut accidit & in tempore. Fortè etiā & si definitur, ob hoc ipsum est etiam infinita: non enim terminus, sed infinitum determinatur: neque aliud quicquam medium inter infinitum terminumq; locatur, quod naturam termini subeat. Hoc vtique infinitum fugit quidem ipsum ideam termini, sed comprehenditur extrinsecus circumuentum: fugit autem non in alium ex alio locum, neque enim locum habet vllum: sed quando compre-
D hensum est, tunc primùm iam locus extitit. Quamobrē non est putandū motionem, quæ infinitati inter loquendum tribuitur esse localem, neque aliam quandam earum quæ nominari solent, ex se illi contingere. Itaque mouetur nunquā, sed neque rursum permanet. Vbi enim maneat, quum hoc ipsum quod dicitur vbi, posterius oriatur? Videtur autem
E iccirco infinitati motus attribui, quoniam nō consistit. Num igitur ita se habet vt in eodem sit altè suspensa, seq; uolutans? An potius & attollatur illuc, & huc usque se iactet? Nullo modo. Hæc enim ambo ad eundem iudicantur locum, tum quod attollitur non declinans quo ad eundem locum pertinet, tū etiam quod declinat. Quidnam igitur esse infinitatem aliquis cogitabit? Tunc profectò cogitabit eam, quando speciem intelligentia separauerit. Quid ergo tunc intelliget? Fortè contraria simul, & non contraria: etenim magnum illic intelliget atq; paruū: fit enim ambo permanens scilicet atq; motū, nā hæc ibi fiunt: sed antequā fiant, constat illā neutrū illorū esse determinatè, alioquin iā illā determinaueris. Si ergo natura illa est infinita, atq; hæc q̄ modò dicebā, infinitè & indeterminatè sunt ibi, sic ibi nimirū vtraq; appa

rebunt. Quòd si prope illuc accesseris, neque terminum aliquem adhibueris, quo eam valeas irretire, tibi protinus subterfugiet, neque quicquam illic inuenies, alioquin iam definisses. Imò verò si cui occurreris velut vni, subitò occurrit vt multa. Tũ verò sis multa dixeris, iterum mentieris: nempe ubi quodlibet non est vnum, neque etiam multa sunt omnia, atque hæc ipsa infinitatis est natura, vt secundũ alteram quidem imaginationem motus sit: quatenus autem accessit imaginatio, status. Iam verò hoc ipsum quod ipsam per seipsam inspicere nequeas, motus quidã est casusq; à mẽte. Quod aũt aufugere nequeat, sed circũ coherceatur extrinsecus, vsqueadeò vt limites non liceat trãsgredi, status quidam est iudicandus: ex quo apparet, non solùm licere motum illic affirmare, sed statum.

A καὶ προσελθὼν ἐγγὺς μὴ ἐπιβάλλων τι πέρας ὥσπερ δίκτυον ὑπεκφεύγουσαν ἕξεις. καὶ οὐ δὲ ἂν εὑρήσεις. ἤδη γὰρ ὥρισας. ἀλλ' εἴ τῳ προσέλθοις ὡς ἑνὶ, πολλὰ φανεῖται. κἂν πολλὰ εἴπῃς πάλιν αὖ ψεύσῃ· οὐκ ὄντος γὰρ ἑκάστου ἑνὸς, οὐδὲ πολλὰ τὰ πάντα. καὶ αὕτη ἡ φύσις αὐτῆς καθ' ἕτερον τῶν φαντασμάτων, κίνησις καὶ καθὸ προσῆλθεν ἡ φαντασία, στάσις. καὶ τὸ μὴ δύνασθαι δι' αὐτῆς αὐτὴν ἰδεῖν, κίνησις ἀπὸ νοῦ
B καὶ ἀπολίσθησις. τὸ δὲ μὴ ἀποδρᾶναι ἔχειν, εἴργεσθαι δὲ ἔξωθεν καὶ κίκλῳ καὶ μὴ * ἐξεῖναι * ἐξῇ προχωρεῖν, στάσεις ἂν εἴη. ὥστε μὴ μόνον ἐξεῖναι κινεῖσθαι λέγειν.

*Quæritur utrum unitas atq; numeri in mundo intelligibili rationem propriam habeãt à cæteris ideis distinctam necne? Ac si habent, utrum præcedant ideas, & quasi sui iuris existant, an uelut pedissequi consequantur: ab animo quidem numerante creari non est probabile. Cap. IIII.*

QVA verò cõditione numeri in mũdo intelligibili sint, deinceps videtur considerandũ. Nunquid tanquam insiti cæteris speciebus, an potius semper velut consequentes, ceu postquam ipsum ens tale est, vt primùm ibi sit, vnitatem cogitauerimus: deinde quoniam motus ex ipso statusq; sequitur, tria iã cognouerimus, atq; p singula reliquorũ quẽlibet numerũ: an fortè nõ ita se res habet, sed cũ quolibet vnitas quędã cõgenita est, aut in primo qdẽ ente vnitas: in eo aũt quod est post ipsũ, siquidẽ illic ordo sit, duitas: vel & quãta est cuiuslibet multitudo, velut si decẽ, decas, id est, ipse denarius: aut fortè nõ ita, sed ipse in seipso excogitatus est numerus: atq; si ita perscrutandũ est, vtrum primus sit aliorum vel postremus. Plato igitur quum homines dixerit ex ipsa dierum ad noctes varietate numerum cognouisse, ideoq; ipsi rerum varietati numeri notitiam attribuerit, fortè res numerandas primùm propter diuersitatem facere numerum confitebitur: ipsumq; numerum in quodam animæ discursu cõsistere, quando ab alio percurrit in aliud, tuncq; fieri numerũ cũ anima numerat: id autem est quando per res ipsas discurrens penes seipsam hoc quidẽ aliud esse, illud verò aliud asserit, vtpote quæ quandiu idem aliquid cogitat, neque quicquam aliud præter illud propriè vnum asserat. Veruntamen quando Plato & in vero numero dicit essentiam, in essentia numerum: rursus subsistentiam quandam numeri in seipso recipiet: neq; in animo numerante duntaxat nasci numerum affirmabit, imò verò ex ipsa circa sensibilia varietate atque distractione notionem numeri in animo reuocari.

A ΠΕΡΙ` δὲ τῶν ἀριθμῶν ὅπως ἔχουσιν ἐν τῷ νοητῷ, σκεπτέον. πότερα ὡς ἐπιγινομένων τοῖς ἄλλοις εἴδεσιν, ἢ καὶ παρακολουθούντων ἀεί. οἷον ἐπειδὴ τὸ ὂν τοιοῦτον οἷον πρῶτον αὐτὸ εἶναι, ἐννοήσαμεν μονάδα. εἶτ' ἐπειδὴ κίνησις ἐξ αὐτοῦ καὶ στάσις, τρία ἤδη, καὶ ἐφ' ἑκάστου τῶν ἄλλων ἕκαστον. ἢ οὐχ οὕτως, ἀλλὰ συνεγεννήθη ἑκάστῳ μονὰς μία. ἢ ἐπὶ μὲν τοῦ πρώτου
B ὄντος, μονὰς· ἐπὶ δὲ τοῦ μετ' ἐκεῖνο, εἰ τάξις ἐστὶ, δυάς. ἢ καὶ ὅσον τὸ πλῆθος ἑκάστου, οἷον εἰ δέκα, δεκάς. ἢ οὐχ οὕτως. ἀλλ' αὐτὸς ἐφ' ἑαυτοῦ ὁ ἀριθμὸς ἐνοήθη. καὶ εἰ οὕτως πότερα πρῶτος τῶν ἄλλων, ἢ ὕστερος. ὁ μὲν οὖν πλάτων εἰς ἔννοιαν ἀριθμοῦ τοὺς ἀνθρώπους ἐληλυθέναι εἰπὼν, ἡμερῶν πρὸς νύκτας τῇ παραλλαγῇ, τῇ τῶν πραγμάτων ἑτερότητι διδοὺς τὴν νόησιν, τάχ' ἂν τὰ ἀριθμητὰ πρότερον δι' ἑτερότη-
C τος ποιεῖν ἀριθμὸν λέγοι. καὶ εἶναι αὐτὸν συνιστάμενον, ἐν μεταβάσει ψυχῆς ἐπ' ἐξιούσης ἄλλο μετ' ἄλλο πρᾶγμα. καὶ τότε γίνεσθαι, ὅταν ἀριθμῇ ψυχή. τοῦτο δ' ἐστὶν, ὅταν αὐτὰ διεξίῃ καὶ λέγῃ παρ' αὐτῇ ἄλλο. τὸ δ' ἄλλο, ὡς ἕως τε ταὐτόν τι καὶ μὴ ἕτερον μετ' αὐτὸ νοεῖ, ἓν λεγούσης. ἀλλὰ μὴν ὅταν λέγῃ ἐν τῷ ἀληθινῷ ἀριθμῷ, καὶ τὸν ἀριθμὸν ἐν οὐσίᾳ, πά-
D λιν αὖ ὑπόστασιν τινὰ ἂν ἐφ' ἑαυτοῦ τοῦ ἀριθμοῦ λέγοι. καὶ οὐκ ἐν τῇ ἀριθμούσῃ ὑφίστασθαι ψυχῇ, ἀλλὰ ἀνακινεῖσθαι ἐν ἑαυτῇ, ἐκ τῆς περὶ τὰ αἰσθητὰ παραλλαγῆς, τὴν ἔννοιαν τοῦ ἀριθμοῦ.

*Confutat dicentes unitatem & numerum non esse rem aliquam, sed posita re qualibet singulatim dici unum: iterumq; unum, atque hoc iterato dici numerum. Cap. V.*

*Ex hac opinione non habemus rationem ad species numeri discernendas, neq; ad numerũ quemlibet redigendum in unum principium numerorum, atq; ipse numerus minus etiam quàm accidens esse putabitur. Quando de homine prædicamus unum, aliud quidem est unum ibi quàm homo: nam unum ipsum non homo multitudinẽ habet oppositam, atq; de rebus omnibus ultra hominem communiter prædicatur. Est ergo rebus omnibus communius & simplicius atq; prius: prius etiam ipso ente ratione simili: præsertim quia unum ipsũ prædicabile est, non de ente solùm, sed de quolibet pariter quodcunq; superius uel inferius ente, uel enti oppositum cogitaueris. Cũ igitur entia quidem ad ipsum ens: numeri uerò referantur ad unum ente superius, meritò numeri entibus priores esse uidentur,*

*Igitur*

*Igitur cũ dicimus decem homines, ipsa decas nec homines ipsi est,, nec ex eis uelut accidens, alioquin non posset res alias æquè metiri, sed prius in seipsa est, quàm in rebus quæ numerantur, ut decem. Denique si qui dicant unũ ipsum esse cum entibus coniugatum, siue tanquam accidens, siue tanquam elementum eis cõniugatum fuerit: adhuc sequitur, ut prius existat in se, quàm uel cunctis communiter accidat, uel accedat ut elementum.*

ΤΙ´Σ οὖν ἡ φύσις αὐτοῦ; ἆρα παρακολούθημα καὶ οἷον ἐπιθεωρούμενον ἑκάστῃ οὐσίᾳ; οἷον ἄνθρωπος, καὶ εἷς ἄνθρωπος καὶ ὂν καὶ ἓν ὄν, καὶ τὰ πάντα ἕκαστα τὰ νοητά, καὶ πᾶς ὁ ἀριθμός; ἀλλὰ πῶς δυὰς καὶ τριάς, καὶ πῶς τὰ πάντα καθ' ἕν, καὶ ὁ τοιοῦτος ἀριθμός, εἰς ἓν ἂν συνάγοιτο; οὕτω γὰρ ἔσται πλῆθος μὲν ἑνάδων. εἰς ἓν δὲ οὐδείς, παρὰ τὸ ἁπλοῦν ἕν. εἰ μή τις λέγοι, ὡς δυὰς μέν ἐστιν ἐκεῖνο τὸ πρᾶγμα, μᾶλλον δὲ ὡς ἐπὶ τῷ πράγματι θεωρούμενον. ὃ δύο ἔχει δυνάμεις συνειλημμένας. οἷον σύνθετον εἰς ἕν. ἢ οἵους ἔλεγον οἱ πυθαγόρειοι οἳ ἐδόκουν λέγειν ἀριθμὸν ἐκ τοῦ ἀνάλο-
* δικαιοσύνη γον. οἷον * δικαιοσύνην τετράδα. καὶ ἄλλον ἄλλως· ἐκείνως δὲ μᾶλλον τῷ πλήθει τοῦ πράγματος ἑνὸς ὄντος, ὅμως καὶ τὸν ἀριθμὸν συζυγῆ, τοσοῦτον ἕν, οἷον δεκάδα καίτοι ἡμεῖς, οὐχ οὕτω τὰ δέκα. ἀλλὰ συνάγοντες, καὶ τὰ διεστῶτα δέκα λέγομεν. ἢ οὕτω μὲν δέκα λέγομεν, ὅταν δὲ ἐκ πολλῶν γίνηται ἕν, δεκάδα. ὡς κἀκεῖ, οὕτως. ἀλλ' εἰ οὕτως, ἆρ' ἔτι ὑπόστασις ἀριθμοῦ ἔσται ἐπὶ τοῖς πράγμασιν αὐτοῦ θεωρουμένου, ἀλλὰ τί κωλύει φαίη αὖ τις, καὶ τοῦ λευκοῦ ἐπὶ τοῖς πράγμασι θεωρουμένου, ὑπόστασιν τοῦ λευκοῦ ἐν τοῖς πράγμασιν εἶναι: ἐπεὶ καὶ κινήσεως ἐπὶ τῷ ὄντι θεωρουμένης, ὑπόστασις ἦν κινήσεως ἐν τῷ ὄντι οὔσης. ὁ δὲ ἀριθμὸς οὐχ ὡς νίνησις. ἀλλ' ὅτι ἡ κίνησις τι, οὕτως ἕν, ἐπ' αὐτῆς ἐθεωρήθη, λέγεται· εἶτα δὲ ἡ τοιαύτη ὑπόστασις, ἀφίστησι τὸν ἀριθμόν, τοῦ οὐσίαν εἶναι, συμβεβηκὸς δὲ μᾶλλον ποιεῖ. καίτοι οὐδὲ συμβεβηκὸς ὅλως. τὸ γὰρ συμβεβηκὸς δεῖ τι εἶναι, πρὸ τοῦ συμβεβηκέναι. καὶ ἀχώριστον ᾖ. ὅμως εἶναί τι ἀφ' ἑαυτοῦ φύσιν τινὰ ὡς τὸ λευκὸν,
* ἤδη ὄν, καὶ ἢ κατηγορηθήσεται καὶ κατηγορεῖσθαι κατ' ἄλλου, * ἤδη ὄν, ὃ κατηγορηθήσεται, ὥστε εἰ περὶ ἕκαστον τὸ ἓν καὶ οὐ ταὐτὸν τῷ ἀνθρώπῳ τὸ εἷς ἄνθρωπος. ἀλλ' ἕτερον τὸ ἓν τοῦ ἀνθρώπου, καὶ κοινὸν τὸ ἕν, καὶ ἐφ' ἑκάστου τῶν ἄλλων. πρότερον ἂν εἴη τὸ ἓν τοῦ ἀνθρώπου καὶ ἑκάστου τῶν ἄλλων, ἵνα καὶ ὁ ἄνθρωπος καὶ ἕκαστον τῶν ἄλλων, τύχῃ ἕκαστον τοῦ ἓν εἶναι. καὶ πρὸ κινήσεως τοίνυν εἴπερ καὶ ἡ κίνησις ἕν. καὶ πρὸ τοῦ ὄντος, ἵνα καὶ αὐτὸ τοῦ ἓν εἶναι τύχῃ. λέγω δὲ οὐ τὸ ἓν ἐκεῖνο, ὃ δὴ ἐπέκεινα τοῦ ὄντος φαμέν, ἀλλὰ καὶ τοῦτο τὸ ἕν, ὃ κατηγορεῖται τῶν εἰδῶν
* καὶ δεκὰς ἑκάστου. * καὶ ἡ δεκὰς τοίνυν πρὸ τοῦ. καθ' οὗ κατηγορεῖται δεκάς. καὶ τοῦτο ἔσται αὐτοδεκάς. οὐ γὰρ δὴ ᾧ πράγματι ἐπιθεωρεῖται δεκάς, αὐ-
* ἀλλ' ἆρα τοδεκὰς ἔσται. * ἀλλ' ἆρα συνεγένετο καὶ συνέστη

A QVÆNAM igitur est ipsa natura numeri? Nunquid est quiddã consequens, ac velut in essentia quauis inspectum, velut homo atq; vnus homo? Item ens vnumq; ens? & intelligibilia sic omnia singulatim, atq; ita resultat numerus vniuersus? Verùm si res ita se habeat, quomodo duitas illic est & trinitas, & quomodo secundum vnum omnia perpenduntur? Quoue pacto eiusmodi numerus in vnũ aliquid congregabitur? Sic enim multitudo B quidem erit aliqua vnitatum: nullus autẽ numerus redigetur in vnũ, præter ipsum videlicet simpliciter vnum: nisi quis fortè dicat duitatẽ quidẽ esse rem illã, siue potius quod cõsideratur in illa, quæ vires duas habet implicitas quasi compositũ quiddã in vnũ, aut fortè quales Pythagorici numeros induxerunt: qui sanè numeros secũdum analogiam, id est, porportionẽ quandam afferre videtur, velut iustitiã quaternarium, aliterq; similiter alium. C Illa verò conditione potius rei ipsius quę existit, vnum multitudini simul & numerum quispiam coniugabit, eatenus vnum velut decadem, tametsi nos non sic ipsa decem ponimus. Sed quę distant inter se congregantes, decem solemus dicere. Forsan verò sic quidem decem dicimus, quando verò ex multis conficitur, vnum, decadem appellamus, quapropter eadem illic etiam ratione. Cæterùm si ita fiat, an erit vlterius vlla numeri subsistẽtia, quũ ipse in rebus duntaxat consideretur? D Respondebit fortè aliquis nihil obstare, & albedine in rebus duntaxat considerata ipsam albedinis subsistentiam in rebus ipsis ritè perpendi, quandoquidem & motu in ente considerato constitit esse subsistentiam motus aliquam in ipso ente videlicet existẽtis. At verò numerus non sicut motus se habere videtur, sed quod motus sic vnũ aliquid in seipso cõsideratũ sit dicitur. Præterea eiusmodi subsistẽtia efficit, vt numerus nõ sit essentia, ac po- E tius vt sit contingens, quamuis neq; sic quidem omnino contingens, nempe contingens oportet antequam contingat aliquid esse, & quamuis inseparabile sit, esse tamen aliquid, & naturã aliquam penes seipsam sicut albedo, ac de alio prædicari hoc ipsũ iã in se existens, quod subinde fit de alio pr*e*dicandum. Quãobrem si circa quodlibet est vnum, neque idem est homo, atque vnus homo, sed aliud v- F num est quàm homo, & commune est ad omnia vnũ, & in quolibet reliquorum ita se habet, certè prius erit vnum homine, & quodlibet reliquorũ, vt sic & homo & quoduis aliorũ vt vnũ sit singulatim assequi possit: igitur & ante motum, siquidem motus sit vnum, & ante ens similiter, vt ipsum quoque valeat esse vnũ. Dico autẽ nõ vnũ illud quod ente superius esse censemus, sed hoc vnũ quod de qualibet specie prædicatur. Itaq; ipsa decas ante illud extat, de quo prædicatur decas, atque hoc ipsũ est ipsa decas: nõ enim res illa, uel in illa, in qua decas inspicitur, decas ipsa erit. Num igitur congenitum est cum entibus, simulq; omnino cum illis est

hoc ipsum vnum? Verùm si congenitum est, si modò tanquam accidens, sicut cum homine sanitas, oportet secundum quoque seipsā esse aliquid sanitatem, similiterq; & illud: ac si vnum tanquam alicuius compositi elementum esse quis dicat, oportet prius esse vnum ipsum secundum se vnum, vt esse & cum alio posit. Deinde si prius esse cōmixtum cū alio quod per ipsum iam factum sit vnum, sequetur, vt falsò sit vnū, vtpote quòd duo sit inde factū: in decade verò quomodo id fiat? Quid enim illi opus est decade, quod sit per tantā potētiam decas? Quod si formabit ipsum ceu materiam, atque erit decadis ipsius præsentia & decem & decas: oportet prius decadem in seipsa non aliud aliquid existentem præter decadem purè singulariterq; consistere.

A τοῖς οὖσιν. ἀλλ' εἰ συνεγενήθη, ὡς μὲν συμβεβηκὸς οἷον τῷ ἀνθρώπῳ ὑγίεια,* δοκεῖ καὶ καθ' αὑτὸ ὑγίειαν εἶναι. καὶ εἰ ὡς στοιχεῖον δὲ συνθέτου τὸ ἓν, δεῖ πρότερον εἶναι ἓν: καὶ αὐτὸ τὸ ἕν, ἵνα σὺν ἄλλῳ. εἶτα εἰ πρότερον εἶναι, συμμιχθὲν ἄλλῳ τῷ γενομένῳ δι' αὐτὸ ἕν, ἐκεῖνο ποιήσει ψευδῶς ἕν, δύο ποιοῦν αὐτό. ἐπὶ δὲ τῆς δεκάδος, πῶς; τί γὰρ δεῖ * ἐκεῖνο τῆς δεκάδος. ὃ ἔσται, διὰ τὴν τοσαύτην δύναμιν δεκάς. ἀλλ' εἰ B εἰδοποιήσει αὐτὸ ὥσπερ ὕλην, καὶ ἔσται παρουσία δεκάδος, δέκα καὶ δεκάς: δεῖ πρότερον ἐφ' ἑαυτῆς τὴν δεκάδα οὐκ ἄλλό τι οὖσαν ἢ δεκάδα μόνον εἶναι.

*δὲ · *ἐκεῖνο

*Rerum species in prima essentia ordine quodam earum intelligentiā antecedunt. Sicut obiecta præcedunt actus circa obiecta uersantes. Siquis ergo dixerit species illic ab intelligentia procreari, concedet etiam posteriores forte, quod est absurdum.* *Cap. VI.*

*Intelligere ibi speciem aliquam scilicet iustitiam, statum, motum & reliqua, nihil est aliud quàm eiusmodi speciem declarare uel definire, nisi definitio hæc sit circa rem aliquam à definitione quoquo modo distinctam, uacua quædam definitio est, imò uerò definitio nulla. Denique unaquæque species ibi est proprietas actusq; essentialis uigore quodam proprio existens atque micans. Emicatio eiusmodi inde pendens, & penes ipsam quidem extans, atque ratione quadam differens ipsa eius intelligentia. est.*

AT verò si vltra res ipsas, vnum ipsum & ipsa decas existit, deinde res intelligibiles prę ter hoc ipsum quòd existunt idquod sunt, alię quidē sunt vnitates, aliæ verò & duitates, & trinitates, quænam erit illorum natura? & quomodo constituta? Existimandum est autem generationem eorum ratione quadam expleri. Primò igitur generatim existimandū est, essentiam specierū non sic prodire ad existendum, vt intelligens ipse primò quidem singula intellexerit: deinde ipsa intelligentia illorum substantiā exhibuerit. Nō enim quia cognouerit, quid iustitia sit, exorta iustitia est. Neque quoniam quid motus sit cogitauerit, subortus est motus. Sic enim oportebat hanc ipsam intelligentiam & posteriorē intellecta re esse, velut intelligentiā iustitiæ iustitia ipsa posteriorem, Atqui & vicissim intelligentia prior est eo, quod procreatur intelligendo, si modò ob idipsum extitit, quod fuerit intellectum. Sin autē iustitia idem est omnino quod & talis intelligentia, absurdū erit, nihil aliud esse iustitiam præter quandā ipsius descriptionem. Quid enim aliud est, iustitiā vel motum intellexisse, quàm descriptione quadam quid vtrunq; sit accepisse? hoc autem perinde se habet, ac si rei non existentes accipias rationem, quod quidem fieri reuera non potest. Proinde siquis adduxerit in rebus à materia separatis idem esse scientiam atque rem scitā, ea id conditione dictum accipiendum, non quidem vt scientiam asserat esse rē ipsam, neque rationem aliquid comtemplantem esse rem ipsam contemplatione perspectam. Sed vicissim rem ipsam à materia segregatam esse intelligibile quiddam, intelligentiamq; existere, non eam inquam, intelligentiā, quæ rei ipsius sit ratio quædam, vel aliquis in hanc ipsam intuitus, sed rem ipsam in mundo intelligibili consistentem nihil aliud esse, præter intellectum atque scientiam: non enim scientia illic ad rem vergit intelligendam, sed

A ἈΛΛ' εἰ ἄνευ τῶν πραγμάτων τὸ ἓν αὐτὸ καὶ ἡ δεκὰς αὐτή, εἶτα τὰ πράγματα τὰ νοητὰ μετὰ τὸ εἶναι ὅπερ ἐστί. τὰ μὲν ἑνάδες ἔσονται τὰ δὲ καὶ δυάδες, καὶ τριάδες, τίς ἂν εἴη ἡ φύσις αὐτῶν; καὶ πῶς συστᾶσα; λόγῳ δὲ δεῖ νομίζειν τὴν γένεσιν αὐτῶν ποιεῖσθαι· πρῶτον τοίνυν δεῖ λαβεῖν τὴν οὐσίαν καθ' ὅλου τῶν ἕκαστον εἰδῶν, ὅτι ἐστὶν οὐχὶ νοήσαντος *ἑκάστου τοῦ B νενοηκότος, εἶτ' αὐτῇ τῇ νοήσει, τὴν ὑπόστασιν αὐτῶν παρασχομένου. οὐ γὰρ ὅτι ἐνόησε τί ποτ' ἐστὶ δικαιοσύνη ἐγένετο. οὐδ' ὅτι ἐνόησε τί ποτ' ἐστὶ κίνησις, κίνησις ὑπέστη. οὕτω γὰρ ἔμελλε τοῦτο τὸ νόημα, καὶ ὕστερον εἶναι τοῦ πράγματος αὐτοῦ, τοῦ νοηθέντος, δικαιοσύνης αὐτῆς, ἡ νόησις αὐτῆς. καὶ πάλιν αὖ ἡ κίνησις, προτέρα τοῦ ἐκ τῆς νοήσεως ὑποστάντος, εἰ τῷ νενοηκέναι ὑπέστη. εἰ δὲ τῇ νοήσει τῇ τοιαύτῃ ταὐτὸν ἡ δικαιοσύνη, πρῶτον μὲν ἄτοπον, μηδὲν εἶναι δικαιοσύνην, ἢ τὸν οἷον ὁρισμὸν αὐτῆς. τί γὰρ ἐστὶ τὸ νενοηκέναι D δικαιοσύνην, ἢ κίνησιν ἢ τὸ τί ἐστιν αὐτὴν λαβόντα· τοῦτο δὲ ταὐτὸν τῷ, μὴ ὑφεστῶτος πράγματος λόγον λαβεῖν, ὅπερ ἀδύνατον. εἰ δέ τις λέγει ὡς ἐπὶ τῶν ἄνευ ὕλης, τὸ αὐτόν ἐστιν ἡ ἐπιστήμη τῷ πράγματι. ἐκείνως χρὴ νοεῖν τὸ λεγόμενον, ὡς οὐ τὴν ἐπιστήμην τὸ πρᾶγμα λέγειν εἶναι, οὐδὲ τὸν λόγον τὸν θεωροῦντα τὸ πρᾶγμα, αὐτὸ τὸ πρᾶγμα. ἀλλὰ ἀνάπαλιν τὸ E πρᾶγμα αὐτὸ ἄνευ ὕλης ὄν, νοητόν τε καὶ νόησιν εἶναι οὐχ' οἷον λόγον εἶναι τοῦ πράγματος. οὐδ' ἐπιβολὴν πρὸς αὐτό, ἀλλ' αὐτὸ τὸ πρᾶγμα ἐν τῷ νοητῷ ὄν, τί ἄλλο, ἢ νοῦν καὶ ἐπιστήμην εἶναι. οὐ γὰρ ἡ ἐπιστήμη πρὸς αὐτήν, ἀλλὰ

*ἱστα...

τὸ πρᾶγμα ἐκεῖ τὴν ἐπιστήμην οὐ μένουσαν, οἷα ἐστὶν ἡ τοῦ ἐν ὕλῃ πράγματος, ἑτέραν ἐποίησεν εἶναι, τοῦτο δ' ἐστὶν, ἀληθινὴν ἐπιστήμην. τοῦτο δὲ ἐστὶν, οὐκ εἰκόνα τοῦ πράγματος, ἀλλὰ τὸ πρᾶγμα αὐτὸ ἡ νόησις τοίνυν τῆς κινήσεως, οὐ πεποίηκεν αὐτὸ κίνησιν: ἀλλ' ἡ αὐτοκίνησις πεποίηκε τὴν νόησιν. ὥστε αὐτὴ ἑαυτὴν κίνησιν καὶ νόησιν. ἡ γὰρ κίνησις ἡ ἐκεῖ, κἀκείνου νόησις. καὶ αὐτὸ δὲ κίνησις, ὅτι πρώτη. οὐ γὰρ ἄλλη πρὸ αὐτῆς. καὶ ἡ ὄντως, ὅτι μὴ συμβέβηκεν ἄλλῳ. ἀλλὰ τοῦ κινουμένου ἐνέργεια, ὄντως ἐνέργεια. ὥστε αὖ καὶ οὐσία: ἐπίνοια δὲ τοῦ ὄντος, ἑτέρα. καὶ δικαιοσύνη δὲ, οὐ νόησις δικαιοσύνης: ἀλλὰ νοῦ οἷον διάθεσις, μᾶλλον δὲ ἐνέργεια τοιάδε, ἧς ὡς ἀληθῶς καλὸν τὸ πρόσωπον. καὶ οὔτε ἕσπερος, οὐδ' ὅλως τὶ τῶν αἰσθητῶν. ἀλλ' οἷον ἄγαλματι νοερὸν, οἷον ἐξ αὐτοῦ ἑστηκὸς, καὶ προφανὲν ἐν αὐτῷ, μᾶλλον δὲ ὂν ἐν αὐτῷ.

A res ipsa illic efficit vt scientia illa non ita sit ipsa diuersa, sicut rei materialis scientia esse solet: hoc autem est scientiam verã edere, id verò rursum, nõ imaginem rei afferre, sed rem ipsam. Intelligentia igitur motionis motionem ipsam minimè fecit, sed ipsa motio potius fecit intelligẽtiam, quapropter & ipsa se ipsam motionem intelligentiamq; cõcepit. Motio enim illic entis illius intelligẽtia est, atq; est ipse motus, quoniã est & primus. Nõ.n. est alius ante B ipsum. Est & reuera motus, quoniam alteri nõ contingit, sed ipsius quod illic quodammodo moueri censetur, est actus uidelicet existentis in actu, quapropter est & essentia, quæ quidem ab ipso ente excogitatione quadam differre videtur. Tum verò iustitiæ intelligentia quædã, sed quasi mentis illius dispositio & affectio, imò verò quidam actus eiusmodi, cuius reuera vultus est pulcher, adeò vt neq; Lucifer, aut C Hesperus, neq; aliud quicquã eorum, quæ sentiuntur, ita fulgeat. Est autẽ velut intellectualis quædam statua ex seipsa tanquam extans & emicans in sepisa, imò verò in seipsa consistens.

*Si mundo corporeo materiam quidem extensam subtrahas, formas verò rerum uarias in vna viuaq; mundi forma conserues, videbis formam vnam omniformem, ibiq; formas cunctas in singulis vnitissimas pariter atque distinctissimas omnia in vno viuente viuentia. Cap. VII.*

*Est igitur vniuersum eiusmodi tum natura, tum intellectualis anima, tum etiam intellectus, in quo species vt res veræ sint reuera distinctæ uerè intellectæ ante machinationem intelligentiæ, ita distinctæ sunt actu, quamuis vnitæ natura, sicut in igne lucere, micare, calere: omnes enim species ibi sunt actus*

ΟΛΩΣ γὰρ δεῖ νοῆσαι τὰ πράγματα ἐν μιᾷ, καὶ μίαν φύσιν πάντα ἔχουσαν, καὶ οἷον περιλαβοῦσαν, οὐχ' ὡς ἐν τοῖς αἰσθητοῖς ἕκαστον χωρὶς, ἀλλαχοῦ ἥλιος καὶ ἄλλο ἄλλοθι. ἀλλ' ὁμοῦ ἐν ἑνὶ πάντα. αὕτη γὰρ νοῦ φύσις. ἐπεὶ καὶ ψυχὴ οὕτω μιμεῖται. καὶ ἡ λεγομένη φύσις καθ' ἣν καὶ ὑφ' ἧς ἕκαστα γεννᾶται. ἄλλο ἄλλοθι, αὐτῆς ὁμοῦ ἑαυτῇ οὔσης: ὁμοῦ δὲ πάντων ὄντων ἕκαστον αὖ χωρίς ἐστιν ἐνορᾷ δὲ αὐτὰ τὰ ἐν τῷ νῷ καὶ τῇ οὐσίᾳ ὁ ἔχων νοῦς, οὐκ ἐπιβλέπων ἀλλ' ἔχων οὐδὲ χωρίζων ἕκαστον. κεχώρισται γὰρ ἤδη, ἐν αὐτῷ ἀεί. πιστούμεθα δὲ πρὸς τοὺς τεθαυμακότας, ἐκ τῶν μετειληφότων. τὸ δὲ μέγεθος αὐτοῦ καὶ τὸ κάλλος, ψυχῆς ἔρωτι πρὸς αὐτὸ, καὶ τῶν ἄλλων τὸν εἰς ψυχὴν ἔρωτα, διὰ τὴν τοιαύτην φύσιν. καὶ τῷ ἔχειν, ἡ κατά τι ὁμοιοῦται. καὶ γὰρ δὴ καὶ ἄτοπον, εἶναί τι ζῶον καλὸν, αὐτοζώου μὴ θαυμαστοῦ τὸ κάλλος, καὶ ἀφράστου ὄντος τὸ δὴ παντελὲς ζῶον ἐκ πάντων * ζῶον ὂν, μᾶλλον δὲ ἐν αὐτῷ τὰ πάντα ζῶα περιέχον καὶ ἓν ὂν τοσοῦτον, ὅσα τὰ πάντα. ὥσπερ καὶ τόδε τὸ πᾶν ἓν ὂν, καὶ πᾶν τὸ ὁρατὸν περιέχον, πάντα τὰ ἐν τῷ ὁρατῷ.

*ζώων

A CONTEMPLARI verò res illas prorsus oportet in natura vna, vnamque naturam vbique omnia possidentem & vndique complectentem. Vbi profectò nõ quemadmodum in regione sensibili fit vnumquodq; seorsum: alibi quidem sol, alibi luna, alibi rursus & aliud, sed cuncta simul in vno: hæc enim ipsius est mentis natura. Quandoquidem & anima mentem sic imitatur: atque ea similiter, quæ natura dicitur, secũdum quam, & sub qua sin- B gula generantur, alibi quidem aliud, dum illa simul permanet in seipsa: quamuis autem sint omnia simul, singula tamen iterum sunt seorsum. Cernit verò intus illa, quæ in mẽte essentiaque sunt, idem ipse qui possidet intellectus, non aspiciens quidem, sed potius habens, neq; rursum separans vnumquodq;. Discreta enim iam semper in ipso sunt singula. Apud illos igitur qui hęc nimium admirantur, fidem nobis ab ijs quæ participant, comparamus: magnitudinem verò mundi illius & pulchritudinem ex amore animæ ipsius ad illum coniectare & asseuerare solemus. Quinetiam illorum amore, quæ ad animam annituntur, ob quandam eiusmodi naturam atque etiam ex eo, quòd per eam illius similem aliquam ad illum similitudinem consequantur. Iam uerò nefas est confiteri, extare pulchrum aliquod animal, nisi ipsum animal, mirabilem quandam & inæstimabilem habeat pulchritudinem. Ipsum profectò animal vniuersum est atque penitus absolutum, ex omnibus animalibus, imò verò cuncta in se animalia continens, vnumque existens simulque totidẽ quot omnia sunt: Quemadmodũ & nostrũ hoc vniuersum est quidẽ vnũ, est omne visibile, cuncta, quæ sunt in visibili regione, cõplectens.

*Essentia vera est vis quædam extra molem materialem in seipsa fundata, per se viuens intellectualisq́; maximè. quod animal intellectuale vocatur, vbi numeri omnes sunt ante actum intellectualem atq; vitalem.*

*Caput VIII.*

